III. Ἐμοὶ δὲ Ἐρατοσθένης 1
ὁ Κυρηναῖος πιςότερος ἄλλου
ἔςω, ὅτι τῆς περιόδου πέρι
ἔμελεν Ἐρατοσθένει. Οὗτος 2
ἀπὸ τοῦ ὄρεος τοῦ Ταύρου,
ἵνα τοῦ Ἰνδοῦ αἱ πηγαὶ, παρ᾽
αὐτὸν Ἰνδὸν ποταμὸν ἰόντι
ἔςτε ἐπὶ τὴν μεγάλην θάλασ-
σαν, καὶ τοῦ Ἰνδοῦ τὰς ἐκ-
βολὰς, μυρίους ςαδίους καὶ
τρισχιλίους τὴν πλευρὴν λέγει
ἐπέχειν τῆς γῆς τῆς Ἰνδῶν.
Ταυτησὶ δὲ ἀντίπορον πλευ- 3
ρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ
ὄρεος παρὰ τὴν ἑῴην θάλασ-
σαν, οὐκέτι ταύτῃ τῇ πλευ-
ρῇ ἴσην· ἀλλὰ ἄκρην γὰρ ἀνέ-
χειν ἐπὶ μέγα εἴσω εἰς τὸ
πέλαγος, ἐς τρισχιλίους ςα-
δίους μάλιςα ἀνατείνουσαν τὴν
ἄκρην· εἴη ἂν ὧν αὐτῷ ἡ
πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς
ἕω, μυρίους καὶ ἑξακισχιλίους
ςαδίους ἐπέχουσα· τοῦτο μὲν
αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς
συμβαίνει. Μῆκος δὲ τὸ ἀφ᾽ 4
ἑσπέρης ἐπὶ ἕω, ἔςτε μὲν ἐπὶ
πόλιν Παλίμβοθρα, μεμετρη-
μένον σχοίνοισι λέγει ἀναγρά-

III. Mihi Eratoſthenes Cyrenaeus majore fide dignus eſto, quoniam illi geographia curae erat. Is a monte Tauro, ubi Indi fontes ſunt, ſecus Indum amnem usque ad magnum oceanum et Indi oſtia, Indiae latus ſtadia XIII M continere ait. Latus vero huic oppoſitum ſtatuit ab eodem monte praeter mare orientale, non amplius huic lateri aequale: ſed longo tractu promontorium circiter ad III M ſtadiorum in mare protendi: ut igitur ei aeſtimetur hoc Indiae latus orientale obtinere XVI M ſtadiorum. Atque haec quidem eſt illi Indiae latitudo. Longitudinem vero ab occidente in orientem usque ad urbem Palimbothra, dicit ſchoenis dimenſam ſe ſcribere, (eſſe enim viam regiam) eamque eſſe ſtadiorum X M. Ulteriora non amplius ſimiliter

NOTAE CRITICAE AD CAP. III.

1. τῆς περιόδȢ πέρι — Legendum ſuſpicor γῆς περιόδȢ πέρι, ut habent Aelianus et Ariſtoteles.